Στ. Οἴμοι παρανοίας ὡς ἐμαινόμην ἄρα, A
Ὅτ' ἐξέβαλον καὶ τοὺς θεοὺς διὰ Σωκράτη.
Ἀλλ' ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι,
Μηδέ μ' ἐπιτρίψῃς, ἀλλὰ συγγνώμην ἔχε
Ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ.
Καί μοι γενοῦ ξύμβουλος, εἴτ' αὐτοὺς γραφὴν
Διωκάθω γραψάμενος, εἴθ' ὅ, τι σοι δοκεῖ.
Ὀρθῶς παραινεῖς, οὐκ ἐῶν δικορραφεῖν. B
Ἀλλ' ὡς τάχιστ' ἐμπιπράναι τὴν οἰκίαν
Τῶν ἀδολεσχῶν. δεῦρο δεῦρ' ὦ Ξανθία,
Κλίμακα λαβὼν, ἔξελθε, καὶ σμινύην φέρων,
Κᾆπειτ' ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον,
Ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν,
Τὸ τέγος κατάσκαπτ', εἰ φιλεῖς τὸν δεσπότην.
Ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τις ἡμμένην,
Κἀγώ τιν' αὐτῶν τήμερον δοῦναι δίκην C
Ἐμοὶ ποιήσω, κἂν σφόδρ' ὦσ' ἀλαζόνες.

Me miserum & stupidum: quantum insaniui modo:
Quòd Socrati credens, abieci omnes Deos?
O Mercuri carissime ne succenseas
Mihi: neu me perdas: sed veniam da mihi:
Quod garrulitate mea desipui: & da tuum
Mihi consilium: an his litem intendam, aut quod tibi
Videbitur. Rectè mones, quòd non sinis
Litem nectere: sed hanc nugatorum domum
Iubes incendere quàm celerrimè. agè, huc agè
Adesdum Xanthia, scalam & rastrum forâs
Effer, scholam conscende, tectum perfode:
Donec domum omnem in ipsos inijcias: perge, si
Herum tuum amas. at mihi facem quis afferat
Ardentem: ego faxim pœnas dent mihi hodie,
Quamlibet elato animo valdè superbiant.

Σχόλια. Ὅτ' ἐξέβαλον.] ταῦτα εἰς διαβολὴν Σωκράτους, ἐκβαλόντος τὰ δαιμόνια. Ἀλλ' ὦ φίλ' Ἑρμῆ.] τοῦτο οἱ κλέπται πρὸς τὸν Ἑρμῆν ἔλεγον ὅτε ἁλισκόμενοι ἐκολάζοντο, αἰτούμενοι αὐτὸν ἐλθεῖν αὐτοῖς εἰς βοήθειαν. ᾤοντο γὰρ διὰ τὸ μὴ τεθυκέναι αὐτῷ ὡς ἐφόρῳ κλεπτικῆς ὄντι, εἰς ταῦτα περιπεσεῖν τὰ δεινά. Παρανοήσαντος.] ἀντὶ τοῦ ἀνοητεύσαντος παρὰ τὸ πρέπον καὶ πεισθέντος. ἀδολεσχία δὲ ἡ τῶν ἀηδῶν ὁμιλία. D

Bisetvs. Ἀδολεσχία] Σ. ἀδολεσχία, ἀκαιρεία, φλυαρία, συνέχεια. Ἀττικοὶ ἐκτείνουσι τὸ α. ἀδολεσχία δὲ παρὰ τῇ γραφῇ, ἡ συνεχὴς μελέτη. καὶ ἀδολεσχήσω, ἀντὶ τοῦ διηνεκῶς μελετήσω. ἀδόλεσχος δὲ, καὶ ἀδολέσχης, ὁ ἀδολεσχῶν, ὁ τῇ ἀδολεσχίᾳ χρώμενος. ταῦτα δὲ παρὰ τὸ ἄδος, ὃ τὸν κόρον, καὶ πλησμονὴν σημαίνει, καὶ τὴν λέσχην. λέσχας δὲ πάλαι ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς οἱ σχολὴν ἄγοντες ἐκαθέζοντο. Ὅμηρος,
Οὐκ ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν, E
Ἠέ που ἐς λέσχην;
Κλεάνθης δέ φησιν ἀπονενεμῆσθαι Ἀπόλλωνι τὰς λέσχας. ἐξέδραις δὲ ὁμοίας γίνεσθαι. καὶ αὐτὸν δὲ τὸν Ἀπόλλωνα παρ' ἐνίοις Λεσχηνόριον ἐπικαλεῖσθαι. Λέσχη ἡ πολλὴ ὁμιλία, φλυαρία. τὸ δὲ παλαιὸν αἱ καθέδραι, καὶ οἱ τόποι, ἐν οἷς εἰώθεσαν ἀθροιζόμενοι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο. Κλίμακα λαβών] Σ. κλίμαξ, ἡ κοινῶς σκάλα. σμινύη δὲ, σκαφεῖον, δίκελλα, ἀξίνη. Τί γὰρ μαθὼν] χαπλέον ἴσως, μαθόνθ' ὑβρίζετον; ἢ ἀνακόλουθον ὁ Στρεψιάδης ἄγροικος, καὶ ἀπαίδευτος, καὶ ὀργισθεὶς ποιεῖ. ἡ δὲ τούτων ἔννοια, αὕτη. τίς δὲ ὑμᾶς ἐδίδαξεν οὕτως εἰς τοὺς θεοὺς ὑβρίζειν; ἐκ τίνων ταύτην τὴν ἀσέβειαν ἐμάθετε; τῷ δὲ δυϊκῷ ἐχρήσατο, ὅτι πρὸς δύο ὁ λόγος ποιεῖται, τὸν Σωκράτην δηλονότι, καὶ τὸν Χαιρεφῶντα. πολλάκις δὲ παρὰ τούτῳ τῷ ποιητῇ ταύτην τῆς μετοχῆς, μαθὼν, χρῆσιν εὑρήσεις, ὅπερ ἐλέγχου τινὸς σχῆμα ἔχει, καὶ ἐπιτίμησιν, καὶ ἀπαιδευσίας ὀνειδισμὸν σημαίνει. οἷον ἐν Ἀχαρνεῦσι,
Τί ἢ μαθὼν φαίνεις ἄνευ θρυαλλίδος;
καὶ ἐν Σφηξὶ,
Τί δὴ μαθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς;
καὶ ἐν Λυσιστράτῃ,
Σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνήσκεις;
Οὐ μὴν ἀλλὰ καὶ τὸ εἰπὲ ἑνικὸν πολλάκις ἂν εὕροις μετὰ πληθυντικοῦ. ὡς ἐν Ὄρνισιν,
Εἰπέ μοι τί μέλλετε; καὶ ἐν Σφηξὶν, „ Εἰπέ μοι τί μέλλομεν; καὶ ἐν Ἀχαρνεῦσιν, „ Εἰπέ μοι ὦ δημόται.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ Σκηνὴ τετάρτη. F

### ΜΑΘΗΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΣΩΚΡΑΤΗΣ, ΧΑΙΡΕΦΩΝ.

Τρίμετροι Ἰαμβικοί.

Bisetvs. Σωκράτους μαθητὴς, Σωκράτης αὐτὸς, καὶ Χαιρεφῶν τὸν τῆς οἰκίας, καὶ τοῦ φροντιστηρίου ἐμπρησμὸν βαρέως φέροντες ἀγανακτοῦσι, καὶ τοῖς αὐτουργοῖς μέμφονται.

Μα. Ἰοὺ, ἰού,
Στ. Σὸν ἔργον, ὦ δᾶς, ἱέναι πολλὴν φλόγα. G
Μα. Ἄνθρωπε τί ποιεῖς; Στ. ὅ, τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
Διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας.

## ACTVS V. SCENA IIII.

### Discipvlvs, Strepsiades, Socrates, Chaerephon.

*Senarij Iambici.*

DI. Eheu, eheu:
ST. Tuū est, ô fax, flammam immittere quam plurimam.
DI. Quid agis homo? ST. id quod ago: quid enim aliud, nisi
Quod argutè disputo cū trabibus huius domus?

Μα. Οἴμοι,